
27/12/2022

Customary assurance made by elected Archbishop of Cyprus Georgios to Ecumenical Patriarch of Constantinople Bartholomew I





ΙΕΡΑ ΣΥΝΟΔΟΣ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΚΥΠΡΟΥ
THE HOLY SYNOD OF THE CHURCH OF CYPRUS

Παναγιώτατε Ἀρχιεπίσκοπε Κωνσταντινουπόλεως, Νέας Ῥώμης καὶ Οἰκουμενικὲ Πατριάρχα, λίαν ἡμῖν ἀγαπητὲ καὶ περισπούδαστε ἀδελφὲ καὶ συλλειτουργέ, κύριε Βαρθολομαῖε, τὴν Ὑμετέραν γερασμιωτάτην Παναγιότητα ἀδελφικῶς ἐν Κυρίῳ κατασπαζόμενοι, ὑπερήδιστα προσαγορεύομεν.

Τοῦ Ἀρχιεπισκόπου Κύπρου Χρυσοστόμου Β΄, τοῦ ἀπὸ Πάφου, ἀπὸ τῆς 7ης Νοεμβρίου 2022, μετακληθέντος εἰς τὰς αἰωνίους μονὰς ὑπὸ τοῦ Κυρίου τῆς ζωῆς καὶ τοῦ θανάτου, κατὰ τοὺς παρ' ἡμῖν ἰσχύοντας ἐκλογικοὺς θεσμούς, συνῳδὰ τῷ Καταστατικῷ Χάρτῃ τῆς Ἁγιωτάτης Ἐκκλησίας τῆς Κύπρου, ἐξελέγημεν ψήφοις κανονικαῖς εἰς διαδοχὴν Αὐτοῦ, τὴν 24ην μηνὸς Δεκεμβρίου 2022. Ἄσμενοι νῦν, τῷ ἀπ αἰώνων παραδεδομένῳ ἔθει στοιχοῦντες καὶ καθήκον ἀδελφικὸν πληροῦντες ἀπευθύνομεν τάδε τὰ Γράμματα τῇ Ὑμετέρᾳ Θειοτάτῃ Παναγιότητι. Τοῦτο μὲν ἐπὶ τῷ ἀνακοινώσασθαι τὰ περὶ ἡμᾶς οὕτωσι θείᾳ ἐπευτύχει οἰκονομηθέντα καὶ ἐπὶ τῷ κατάρξασθαι τῆς μεθ' ἡμῶν πνευματικῆς ἐν Χριστῷ κοινωνίας.

Δηλοῦμεν, ἐνώπιον Θεοῦ ὅτι πρῶτον ἡμῶν μέλημα ἔσται ἡ ἀπαρασάλευτος προσήλωσις πρὸς τὴν ἀποκαλυφθεῖσαν ἐν τῷ ἐνανθρωπήσαντι Χριστῷ θείαν ἀλήθειαν, ὡς αὕτη ὑπὸ τῶν ἁγίων Ἀποστόλων καὶ ἐν ταῖς ἑπτὰ Οἰκουμενικαῖς Συνόδοις ὑπὸ τῆς Ἐκκλησίας παρεδόθη. Τὴν Ὀρθόδοξον ταύτην πίστιν τηρήσωμεν, παρεχόμενοι δ' ἐν ταύτῳ τὴν βεβαίωσιν ὅτι τὴν ἑνότητα καὶ τὴν συνεργασίαν μετὰ τῶν κατὰ τόπους Ὀρθοδόξων Ἐκκλησιῶν φυλάξωμεν ἐν τῇ ὀρθῇ ἐκκλησιολογίᾳ, ἀκραιφνῶς ἄνευ ὑστεροβουλίας ἢ ἀλλοιώσεως.

Ἐπὶ τῇ ὑφ' ἡμῶν ἀναλήψει τῶν εὐθυνῶν, τῆς ἐν τῇ παλαιφάτῳ Ἐκκλησίᾳ τοῦ Ἀποστόλου Βαρνάβα ὑπάτης διακονίας, διαβεβαιοῦμεν περὶ τῶν ἐγκαρδίων αἰσθημάτων τιμῆς, ἀγάπης καὶ σεβασμοῦ πρὸς τὸ σεπτὸν Οἰκουμενικὸν Πατριαρχεῖον καὶ ἐξαιτούμεθα συντόνους τὰς πρὸς Κύριον Ὑμῶν εὐχάς, ὑπὲρ ἐνισχύσεως ἡμῶν πρὸς εὐδόκιμον ἐκπλήρωσιν τῆς μεγάλης καὶ ὑψηλῆς ταύτης διακονίας. Ὁμολογοῦντες τὰ ἀπαράγκαπτα δίκαια τοῦ μαρτυρικοῦ θρόνου τῆς Ἀποστολικῆς Ἐκκλησίας Κύπρου, τὰ ἀπορρέοντα ἐκ τῶν ἀποφάσεων τῆς Γ΄ ἐν Ἐφέσῳ Οἰκουμενικῆς Συνόδου καὶ τῆς ἐν Τρούλλῳ Συνόδου, ὁμοῦ γεραίρομεν καὶ προσυπογράφομεν τὰ δίκαια τοῦ σεπτοῦ Οἰκουμενικοῦ Πατριαρχείου, προσεπαγγελλόμενοι ἐν φόβῳ Θεοῦ προασπίσαι ἀμφότερα.

Προσνέμοντες τῇ Ὑμετέρᾳ Παναγιότητι καὶ τῇ περὶ Αὐτὴν σεπτῇ χορείᾳ τῶν Ἱεραρχῶν ἐγκάρδιον ἀδελφικὸν ἀσπασμόν, ὁλοθύμως ἐπευχόμενοι Αὐτῇ ἔτη πλεῖστα, ὑγιεινὰ καὶ γηθόσυνα, διατελοῦμεν

Ἐν τῇ Ἱερᾷ Ἀρχιεπισκοπῇ Κύπρου,
τῇ 24ῃ Δεκεμβρίου 2022.

Τῆς Ὑμετέρας γερασμιωτάτης Παναγιότητος
ἀγαπητὸς καὶ ὁλοπρόθυμος ἐν Χριστῷ ἀδελφὸς

† ὁ Κύπρου Γεώργιος

130, 1502 Λευκωσία-Κύπρος | P.O. Box 21130, 1502 Nicosia-Cyprus • Τηλ. | Tel: +357 22554657, 22554691 • Φαξ | Fax: +357 2234



The customary assurance that he will honor, love and respect the Ecumenical Patriarchate of Constantinople was given by the newly elected Archbishop of Cyprus Georgios, in a letter conveyed to the Ecumenical Patriarch, His All-Holiness Bartholomew I.

In the letter, Georgios, the up-until-now Metropolitan of Paphos, declared his commitment to decisions of the seven Ecumenical Councils, assuring that he will work to preserve the unity and cooperation with local Orthodox Churches.

The Ecumenical Patriarch, on his part, in his congratulatory letter, invited Georgios to struggle for the protection of the faith.

Additionally, the Pope and Patriarch of Alexandria and All Africa, His Beatitude Theodoros II, expressed his great joy over the election of Metropolitan Georgios as

the new Archbishop of Nova Justiniana and All Cyprus, conveying a Patriarchal letter of congratulations.



The Patriarch of Alexandria, noted, among others, that "…the news of Your election to the renowned Throne of the Apostolic and Ancient Church of Cyprus reached the land of the Nile and our hearing, as the breeze of Aermon, which gladdened me personally as well as the Hierarchs and clergy of our Ancient Church of St. Mark, and we cried out Axios."



Similar congratulations were conveyed by Greek Parliament Deputy Maximos

Harakopoulos, the Secretary General of the Inter-parliamentary Assembly on Orthodoxy.

